Τῷ καιρῷ ἐκείνῳ εἰσελθὼν διήρχετο ὁ Ἰησοῦς τὴν Ἱεριχώ· καὶ ἰδοὺ ἀνὴρ ὀνόματι καλούμενος Ζακχαῖος, καὶ αὐτὸς ἦν ἀρχιτελώνης, καὶ οὗτος ἦν πλούσιος, καὶ ἐζήτει ἰδεῖν τὸν Ἰησοῦν τίς ἐστι, καὶ οὐκ ἠδύνατο ἀπὸ τοῦ ὄχλου, ὅτι τῇ ἡλικίᾳ μικρὸς ἦν. καὶ προδραμὼν ἔμπροσθεν ἀνέβη ἐπὶ συκομορέαν, ἵνα ἴδῃ αὐτόν, ὅτι δι' ἐκείνης ἤμελλε διέρχεσθαι. καὶ ὡς ἦλθεν ἐπὶ τὸν τόπον, ἀναβλέψας ὁ Ἰησοῦς εἶδεν αὐτὸν καὶ εἶπε πρὸς αὐτόν· Ζακχαῖε, σπεύσας κατάβηθι· σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι. καὶ σπεύσας κατέβη, καὶ ὑπεδέξατο αὐτὸν χαίρων. καὶ ἰδόντες πάντες διεγόγγυζον λέγοντες ὅτι παρὰ ἁμαρτωλῷ ἀνδρὶ εἰσῆλθε καταλῦσαι. σταθεὶς δὲ Ζακχαῖος εἶπε πρὸς τὸν Κύριον· ἰδοὺ τὰ ἡμίση τῶν ὑπαρχόντων μου, Κύριε, δίδωμι τοῖς πτωχοῖς, καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν. εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς ὅτι σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο, καθότι καὶ αὐτὸς υἱὸς Ἀβραάμ ἐστιν. ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός.

ΕΡΜΗΝΕΥΤΙΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ

Διήρχετο=ἐπερνοῦσε μέσα ἀπὸ τὴν πόλιν Ἱεριχώ. **Ἱεριχὼ**=πόλις τῆς Ἰουδαίας πλησίον τῆς Ἱερουσαλήμ. **ἀρχιτελώνης**=πρῶτος ἐκ τῶν τελωνῶν Τελῶναι ἦσαν οἱ ἀγοράζοντες τοὺς φόρους τῶν διαφό-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρων ἐπαρχιῶν τοῦ Ρωμαϊκοῦ Κράτους. Ἐθεωροῦντο γενικῶς ἄνθρωποι ἄδικοι, διότι ἐπίεζον τὸν φορολογούμενον λαὸν καὶ ἐλάμβανον ἀπ' αὐτὸν ὅσα χρήματα ἤθελον. **τῇ ἡλικίᾳ μικρὸς** = εἰς τὸ ἀνάστημα κοντός. **προδραμὼν**=τρέξας ἐμπρός. **συκομορέα**=συκομουριά. **ὅτι δι' ἐκείνης**=ἀπὸ ἐκεῖνον τὸν δρόμον ἐπρόκειτο νὰ περάσῃ. **ἐπὶ τὸν τόπον**=ὅπου ἦτο ὁ Ζακχαῖος. **ἀναβλέψας** = ὑψώσας τὰ βλέμματά του πρὸς τὰ ἄνω. **σπεύσας κατάβηθι**=κατέβα γρήγορα. **δεῖ με μεῖναι**= πρέπει νὰ μείνω· **διεγόγγυζον** = ἐγόγγυζον. **καταλῦσαι** = νὰ μείνῃ· **παρὰ ἁμαρτωλῷ** = εἰς τὸν οἶκον ἁμαρτωλοῦ ἀνθρώπου. **εἴ τινος ἐσυκοφάντησα** = ἐὰν ἠδίκησα κανένα κατὰ τὴν εἴσπραξιν τῶν φόρων ἢ κατ' ἄλλον τρόπον. **τετραπλοῦν** = τέσσαρας φοράς. **τὸ ἀπολωλὸς**= χαμένος, δηλαδὴ ἁμαρτωλός.

ΣΥΝΤΟΜΟΣ ΑΝΑΠΤΥΞΙΣ ΤΟΥ ΠΕΡΙΕΧΟΜΕΝΟΥ

Ὁ Ἰησοῦς Χριστὸς διήρχετο τὴν Ἱεριχώ. Ἕνας ἀρχιτελώνης, ἄνθρωπος ποὺ εἰσέπραττε τοὺς φόρους, ἀλλὰ συγχρόνως καὶ πολὺ πλούσιος, ἐζήτει μὲ κάθε τρόπον νὰ ἰδῇ εἰς τὸ πρόσωπον τὸν Χριστόν. Ἀλλὰ ἀτυχῶς δι' αὐτὸν δὲν ἠμποροῦσε, διότι ἦτο κατὰ τὸ ἀνάστημα κοντὸς καὶ ὁ κόσμος ἦτο παρὰ πολὺς πέριξ τοῦ Χριστοῦ. Δι' αὐτὸ ἐλησμόνησε πρὸς στιγμὴν τὴν κοινωνικήν του θέσιν, ἔτρεξεν ἐμπρὸς ἀπὸ τὸν πολὺ κόσμον καὶ ἀνέβηκε ἐπάνω εἰς μίαν « συκομορέαν », ἥτις ἦτο πλησίον τοῦ δρόμου ἐκείνου, ἀπὸ τὸν ὁποῖον ἐπρόκειτο νὰ περάσῃ ὁ Χριστός, διὰ νὰ ἠμπορέσῃ νὰ τὸν ἴδῃ. Ὁ Χριστὸς διερχόμενος τὴν ὁδὸν ἐκείνην ἔφθασε καὶ εἰς τὸ μέρος ποὺ ἦτο ἡ συκομορέα, ἐστάθη κάτω ἀπ' αὐτήν, ὕψωσε τὸ βλέμμα του πρὸς τὰ ἐπάνω, εἶδε τὸν ἀρχιτελώνην Ζακχαῖον καὶ τὸν ἐκάλεσε νὰ κατέβῃ ἀπὸ τὸ δένδρον, διότι θέλει νὰ μείνῃ εἰς τὸ σπίτι του. Ὁ Ζακχαῖος κατέβηκε καὶ τὸν ὑπεδέχθη μὲ χαράν. Ἀλλ' ἐκεῖνοι ὅμως ἀπὸ τοὺς ἀνθρώπους ποὺ ἦσαν εἰς τὸ πλῆθος ἐκεῖνο καὶ ἐγνώριζον τὸν Ζακχαῖον ἠγανάκτησαν, διότι ἐπρόκειτο ὁ Χριστὸς νὰ μείνῃ εἰς τὸ σπίτι ἑνὸς ἀδίκου καὶ ἁμαρτωλοῦ ἀνθρώπου. Ὁ Ζακχαῖος εἰς τὴν ἀγανάκτησίν των ἔκαμε ἀμέσως μίαν ὁμολογίαν καὶ μίαν ἐξομολόγησιν. Ὅτι δηλαδὴ θὰ ἐπανορθώσῃ κάθε ἀδικίαν, τὴν ὁποίαν ἔκαμε, καὶ μάλιστα εἰς τὸ τετραπλάσιον. Τοῦτο φανερώνει, ὅτι ὁ Ζακχαῖος συν-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ησθάνθη ὅτι ἦτο ἔνοχος καὶ ἀποφασίζει νὰ ἀλλάξῃ τρόπον ζωῆς. Τὸ νὰ ἀποκαταστήσῃ κανεὶς πᾶσαν ἀδικίαν, τὴν ὁποίαν ἔπραξε, δεικνύει μὲ τοῦτο, ὅτι εἰσῆλθεν εἰς τὴν ἀληθινὴν χριστιανικὴν ζωήν, ἀρκεῖ ἡ ἐπανόρθωσις τῆς ἀδικίας νὰ εἶναι κατορθωτή. Διότι εἶναι καὶ ἀδικίαι ποὺ δὲν ἐπανορθώνονται, ὡς ὁ φόνος κλπ. Τὴν πίστιν του πρὸς τὸν Θεὸν ὁ ἄνθρωπος πρέπει νὰ τὴν δεικνύῃ μὲ ἀγαθὰ ἔργα. Τότε ἡ πίστις ἔχει ἀξίαν. Ἡ ἀπόφασις τοῦ Ζακχαίου, νὰ ἀποκαταστήσῃ τὰς ἀδικίας του εἰς τὸ τετραπλάσιον, εἶναι πρᾶξις ἀξιέπαινος καὶ φανερώνει τὴν πίστιν τοῦ Ζακχαίου καὶ τὴν εἰλικρινῆ του μετάνοιαν. Ὁ Ζακχαῖος ἐσώθη, διότι εἰλικρινὰ μετενόησε. Σωτηρία ἔγινε εἰς τὸ σπίτι του. Ὁ Ἰησοῦς Χριστὸς ἔχαιρε ἰδιαιτέρως ὅταν ἔσωζε ἁμαρτωλὸν ἄνθρωπον. Διότι διὰ τὴν σωτηρίαν τῶν ἁμαρτωλῶν ἔγινεν ἄνθρωπος, ἦλθεν εἰς τὸν κόσμον, ἐδίδαξε καὶ ἀπέθανεν ἐπὶ τοῦ Σταυροῦ.

ΚΥΡΙΑΚΗ ΙΣΤ' ΛΟΥΚΑ, ΤΟΥ ΤΕΛΩΝΟΥ ΚΑΙ ΦΑΡΙΣΑΙΟΥ
(Λουκ. ιη', 10-15)

ΤΟ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

Ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι, ὁ εἷς Φαρισαῖος καὶ ὁ ἕτερος τελώνης. ὁ Φαρισαῖος σταθεὶς πρὸς ἑαυτὸν ταῦτα προσηύχετο· ὁ Θεός, εὐχαριστῶ σοι ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί, ἢ καὶ ὡς οὗτος ὁ τελώνης· νηστεύω δὶς τοῦ σαββάτου, ἀποδεκατῶ πάντα ὅσα κτῶμαι. καὶ ὁ τελώνης μακρόθεν ἑστὼς οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι, ἀλλ' ἔτυπτεν εἰς τὸ στῆθος αὐτοῦ λέγων· ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. λέγω ὑμῖν, κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ ἢ γὰρ ἐκεῖνος· ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται.

ΕΡΜΗΝΕΥΤΙΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ

Εἰς τὸ Ἱερὸν = εἰς τὸν Ναόν, ὅστις ἦτο εἰς ὑψηλὸν μέρος. **Φαρι-**

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σαῖος· οἱ Φαρισαῖοι ἦσαν Ἑβραῖοι, οἱ ὁποῖοι ἐφύλασσον μὲ ἀκρίβειαν τὰς διατάξεις τοῦ Μωσαϊκοῦ Νόμου. Οἱ περισσότεροι ἐξ αὐτῶν τὸ ἔκαμνον τοῦτο μόνον διὰ νὰ τιμῶνται ἀπὸ τοὺς ἀνθρώπους, ἦσαν δηλαδὴ ὑποκριταί. Ἄλλοι ἦσαν εἰς τὴν πραγματικότητα καὶ ἀλλοιῶς ἐφαίνοντο. **τελώνης** = ὁ ἄνθρωπος ποὺ ἠγόραζε τοὺς φόρους ἀπὸ τὸ κράτος καὶ κατόπιν αὐτὸς εἰσέπραττε παρανόμως περισσότερα ἀπὸ ὅσα ἔπρεπε νὰ εἰσπράξῃ. Δι' αὐτὸ οἱ τελῶναι ἐθεωροῦντο ἄνθρωποι ἄδικοι καὶ συνεπῶς ἁμαρτωλοί. **πρὸς ἑαυτὸν** = προσηύχετο μέσα του. Κατ' ἄλλους ἐστάθη ὑπερήφανα. **δὶς τοῦ σαββάτου**= δύο φορὰς τὴν ἑβδομάδα, δηλαδὴ τὴν Δευτέραν καὶ τὴν Πέμπτην. **ἀποδεκατῶ** = δίδω τὸν ἕν δέκατον εἰς τὸν Ναόν, ἀπὸ τὰ εἰσοδήματά μου. Ἕκαστος Ἰουδαῖος ἦτο ὑποχρεωμένος νὰ δίδῃ ὑπὲρ τοῦ Ναοῦ τὸ δέκατον τῶν εἰσοδημάτων του, εἴτε εἰς χρῆμα εἴτε εἰς εἶδος. Ἀπὸ τὰ δέκατα αὐτὰ συνετηροῦντο ὁ Ναός, οἱ Ἱερεῖς κλπ. **ἑστὼς** = ἱστάμενος. **ἐπᾶραι** = νὰ ὑψώσῃ.=**ἔτυπτεν εἰς τὸ στῆθος** = ἐκτυποῦσε τὸ χέρι του εἰς τὸ στῆθός του, διὰ νὰ δείξῃ ὅτι ἦτο ἔνοχος καὶ ἀνεγνώριζε τὰς ἀδικίας του ἐνώπιον τοῦ Θεοῦ. **ἱλάσθητί μοι** = συγχώρησέ με. **δεδικαιωμένος**=συγχωρημένος. **ὁ ὑψῶν**=ὁ ὑπερηφανευόμενος. **ὑψωθήσεται**=θὰ δοξασθῇ ἀπὸ τὸν Θεόν.

ΣΥΝΤΟΜΟΣ ΑΝΑΠΤΥΞΙΣ ΤΟΥ ΠΕΡΙΕΧΟΜΕΝΟΥ

Ἡ προσευχὴ εἶναι μία ἱερὰ συνομιλία τῆς ψυχῆς τοῦ ἀνθρώπου μὲ τὸν Θεόν. Μὲ τὴν προσευχὴν ἐπικοινωνοῦμεν μὲ τὸν ἄφθαρτον καὶ αἰώνιον Θεόν. Ἡ προσευχὴ εἶναι καὶ ἀπόδειξις περὶ τοῦ ἂν ὁ ἄνθρωπος ζῇ ψυχικῶς ἢ ἀπέθανεν. Διὰ τῆς προσευχῆς του ὁ ἄνθρωπος: α) δοξολογεῖ τὸν Θεὸν διὰ τὰ θαυμάσια καὶ ἐξαίσια ἔργα Αὐτοῦ πρὸς ὅλην τὴν Δημιουργίαν του· β) διατυπώνει τὰς ἀνησυχίας του διὰ τὸ μέλλον του· γ) φανερώνει τὴν πίστιν του εἰς τὰς ὑποσχέσεις τοῦ Θεοῦ· δ) Τὸν εὐγνωμονεῖ καὶ Τὸν εὐχαριστεῖ δι' ὅλα τὰ ἀγαθά, τὰ ὁποῖα παρέχει εἰς τοὺς ἀνθρώπους μὲ βάσιν καὶ ἀρχὴν τὴν ζωήν, τὸ ὕψιστον τοῦτο ἀγαθὸν· καὶ ε) Τὸν παρακαλεῖ νὰ τοῦ συγχωρήσῃ τὰς ἁμαρτίας του. Ὁ ἄνθρωπος ποὺ δὲν προσεύχεται δὲν πιστεύει εἰς τὸν Θεόν. Ἡ θερμὴ προσευχὴ ἔχει ἀξίαν ἐνώπιον τοῦ Θεοῦ καὶ ἔχει καὶ ἀποτέλεσμα διὰ τὸν προσευχόμενον καὶ ὄχι ἡ τυπικὴ καὶ ξηρὰ προσευχή. Ἀλλὰ χρειάζεται ὁ ἄνθρωπος πρῶτον νὰ ἐξο-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μολογηθῇ καὶ κατόπιν νὰ προσευχηθῇ. Τὰ γνωστὰ ἁμαρτήματα ἐμποδίζουν τὸν ἄνθρωπον νὰ προσευχηθῇ θερμῶς. Ὁ τελώνης ἀνεγνώρισε πρῶτον τὰ ἁμαρτήματά του καὶ τότε εὑρῆκε τὸν τρόπον τῆς καλῆς προσευχῆς. Ἐταπείνωσε τὸν ἑαυτόν του καὶ μὲ εἰλικρινῆ μετάνοιαν καὶ ταπεινοφροσύνην ὡμολόγησε τὰς ἁμαρτίας του ἐνώπιον τοῦ Θεοῦ καὶ ὁ Θεὸς τὸν συνεχώρησεν. Ὁ Φαρισαῖος ὅμως μὲ τὴν ὑπερηφάνειάν του ἔχασε τὸ ἠθικὸν κέρδος τῆς προσευχῆς. Διότι προσευχόμενος ὑπερηφανεύετο. Δι' αὐτὸ ἐτιμωρήθη καὶ κατεδικάσθη ὑπὸ τοῦ Θεοῦ. Ἡ προσευχὴ γίνεται δεκτὴ ἀπὸ τὸν Θεόν, ὅταν γίνεται μὲ βαθεῖαν ταπείνωσιν. Ἡ ταπεινοφροσύνη εἶναι ἡ πρώτη ἀρετή. Χωρὶς αὐτὴν δὲν μπορεῖ νὰ εἶναι ὁ ἄνθρωπος Χριστιανός.

ΚΥΡΙΑΚΗ ΙΖ' ΛΟΥΚΑ, ΤΟΥ ΑΣΩΤΟΥ (Λουκ. ιε', 11—32)

ΤΟ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

Εἶπε δὲ ὁ Ἰησοῦς· ἄνθρωπός τις εἶχε δύο υἱούς. καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρί· πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. καὶ διεῖλεν αὐτοῖς τὸν βίον. καὶ μετ' οὐ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα ὁ νεώτερος υἱὸς ἀπεδήμησεν εἰς χώραν μακράν, καὶ ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ ζῶν ἀσώτως. δαπανήσαντος δὲ αὐτοῦ πάντα ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην, καὶ αὐτὸς ἤρξατο ὑστερεῖσθαι. καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης, καὶ ἔπεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους. καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων ὧν ἤσθιον οἱ χοῖροι, καὶ οὐδεὶς ἐδίδου αὐτῷ. εἰς ἑαυτὸν δὲ ἐλθὼν εἶπε· πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι! ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου καὶ ἐρῶ αὐτῷ· πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου· οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. καὶ ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα αὐτοῦ. ἔτι δὲ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτοῦ μακρὰν ἀπέχοντος εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἐσπλαγχνίσθη, καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ κατεφίλησεν αὐτόν· εἶπε δὲ αὐτῷ ὁ υἱός· πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. εἶπε δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ· ἐξενέγκατε τὴν στολὴν τὴν πρώτην καὶ ἐνδύσατε αὐτόν, καὶ δότε δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ καὶ ὑποδήματα εἰς τοὺς πόδας, καὶ ἐνέγκαντες τὸν μόσχον τὸν σιτευτὸν θύσατε, καὶ φαγόντες εὐφρανθῶμεν, ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν καὶ ἀνέζησε, καὶ ἀπολωλὼς ἦν καὶ εὑρέθη. καὶ ἤρξαντο εὐφραίνεσθαι. Ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ· καὶ ὡς ἐρχόμενος ἤγγισε τῇ οἰκίᾳ, ἤκουσε συμφωνίας καὶ χορῶν, καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων ἐπυνθάνετο τί εἴη ταῦτα. ὁ δὲ εἶπεν αὐτῷ ὅτι ὁ ἀδελφός σου ἥκει καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτόν, ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν. ὠργίσθη δὲ καὶ οὐκ ἤθελεν εἰσελθεῖν. ὁ οὖν πατὴρ αὐτοῦ ἐξελθὼν παρεκάλει αὐτόν. ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ πατρί· ἰδοὺ τοσαῦτα ἔτη δουλεύω σοι καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον, καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ· ὅτε δὲ ὁ υἱός σου οὗτος, ὁ καταφαγών σου τὸν βίον μετὰ πορνῶν, ἦλθεν, ἔθυσας αὐτῷ τὸν μόσχον τὸν σιτευτόν. ὁ δὲ εἶπεν αὐτῷ· τέκνον, σὺ πάντοτε μετ᾽ ἐμοῦ εἶ, καὶ πάντα τὰ ἐμὰ σά ἐστιν· εὐφρανθῆναι δὲ καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν καὶ ἀνέζησε, καὶ ἀπολωλὼς ἦν καὶ εὑρέθη.

ΕΡΜΗΝΕΥΤΙΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ

Τὸ ἐπιβάλλον = ὅ,τι μοῦ ἀνήκει. **οὐσία** = ἡ περιουσία. **διεῖλε** = διεμοίρασε. **συναγαγὼν** = ἀφοῦ συνήθροισε. **ἀπεδήμησε** = ἀνεχώρησε. **δαπανήσαντος αὐτοῦ** = ἀφοῦ αὐτὸς (ὁ νεώτερος υἱός) ἐδαπάνησε. **λιμὸς** = πεῖνα. **ἐκολλήθη** = προσεκολλήθη. **ἀπὸ τῶν κερατίων ὧν ἤσθιον** = ἀπὸ τὰ ξυλοκέρατα, ποὺ ἔτρωγαν. **ἐλθὼν** = ἀφοῦ συνῆλθε, ἐσκέφθη. **μίσθιοι** = μισθωτοί, ὑπηρέται. **λιμῷ ἀπόλλυμαι**

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

=χάνομαι ἀπὸ τὴν πεῖναν. **ἀναστὰς πορεύσομαι**=θὰ σηκωθῶ καὶ θὰ ὑπάγω. **ἐρῶ**=θὰ εἴπω. **εἰς τὸν οὐρανὸν**=ἐνώπιον τοῦ Θεοῦ. **κληθῆναι**=νὰ ὀνομασθῶ. **δραμὼν**=τρέξας. **ἐξενέγκατε**=φέρατε. **ἐνέγκαντες** = ἀφοῦ φέρετε. **σιτευτὸν** = τὸ καλοθρεμμένο μανάρι. **θύσατε**= σφάξατε. **εὐφρανθῶμεν**=χαρῶμεν, διασκεδάσωμεν. **ὡς**=καθώς. **συμφωνίας** = τραγούδια, μουσική. **ἐπυνθάνετο τί εἴη** = ἠρώτα νὰ μάθῃ τί συμβαίνει. **παρῆλθον**=παρήκουσα. **ἔθυσας** = ἔσφαξες. **νεκρὸς ἦν**= ἦτο πεθαμένος, δηλαδὴ ψυχικῶς, ἐκ τῆς ζωῆς τῆς ἁμαρτίας τὴν ὁποίαν ἔζη.

ΣΥΝΤΟΜΟΣ ΑΝΑΠΤΥΞΙΣ ΤΟΥ ΠΕΡΙΕΧΟΜΕΝΟΥ

Ἡ παραβολὴ τοῦ ἀσώτου παρουσιάζει ἕνα πατέρα, ποὺ ἔχει δύο παιδιά. Ὁ μικρότερος εἶπε μίαν ἡμέραν εἰς τὸν πατέρα του: Πάτερ, δῶσέ μου ὅ,τι μοῦ ἀνήκει ὡς μερίδιόν μου ἀπὸ τὴν περιουσίαν σου. Καὶ ὁ πατήρ του ἔδωσεν εἰς αὐτὸν τὸ μερίδιόν του.

Τότε ἐκεῖνος, ἀφοῦ τὸ ἐπῆρε, ἔφυγε ἀπὸ τὸ σπίτι τοῦ πατρός του καὶ ἐπῆγε εἰς μακρινὴν χώραν. Ἐκεῖ ἐξώδευσε τὴν περιουσίαν του εἰς διασκεδάσεις καὶ ἀσωτίας. Διὰ νὰ σωθῇ ὅμως ἀπὸ τὸν θάνατον ἐκ τῆς πείνης, κατήντησε νὰ γίνῃ χοιροβοσκός.

Ἔτσι καταντᾷ ὁ ἄνθρωπος ποὺ ζῇ μακρὰν τοῦ Θεοῦ. Τότε, εἰς τὸ κατάντημα τῆς δυστυχίας ποὺ εὑρίσκετο ὁ ἄσωτος υἱός, ἐνεθυμήθη τὸ πατρικό του σπίτι, τὰ ἀγαθὰ τοῦ πατρός του καὶ τὴν εὐτυχισμένην ζωὴν ποὺ ζοῦν εἰς αὐτὸ καὶ αὐτοὶ ἀκόμη οἱ δοῦλοι τοῦ πατρός του. Καὶ ἀπεφάσισε νὰ ἐπιστρέψῃ μετανοημένος εἰς τὸν πατέρα του δι' ὅ,τι τοῦ ἔκαμε καὶ νὰ τοῦ ζητήσῃ νὰ τὸν δεχθῇ εἰς τὸ σπίτι του, ὄχι ὡς υἱόν του, ἀλλ' ὡς ἕνα τῶν πολλῶν δούλων του. Διότι δὲν ἦτο πλέον ἄξιος οὔτε καὶ νὰ ὀνομάζεται υἱός του.

Ὁ πατήρ του ὅμως, ὅταν τὸν εἶδε ἀπὸ μακρὰν ἐρχόμενον, τὸν ἐλυπήθη, σὰν πατέρας ποὺ ἦτο, τὸν ἐδέχθη εἰς τὰς ἀγκάλας του, διέταξε νὰ τοῦ φέρουν τὴν πρώτην στολήν του, νὰ τοῦ βγάλουν τὰ ροῦχα τοῦ χοιροβοσκοῦ, νὰ τοῦ δώσουν ὑποδήματα νὰ φορέσῃ καὶ νὰ βάλουν δακτυλίδι εἰς τὸ χέρι του, σημεῖον δόξης καὶ τιμῆς. Καὶ ἀκόμη νὰ σφάξουν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸ καλοθρεμμένο μοσχάρι, νὰ ἑτοιμάσουν χαρμόσυνον δεῖπνον, καὶ ὅλοι νὰ χαροῦν, διότι ἦλθε πάλιν πλησίον του ὁ χαμένος υἱός του, διὰ νὰ μείνῃ πλέον πάντοτε μαζί του καὶ νὰ ζῇ πλησίον του εὐτυχὴς καὶ χαρούμενος. Εἰς τὴν ὡραίαν αὐτὴν παραβολὴν φανερώνεται ὁ Κύριος ὅτι ἔτσι δέχεται καὶ ὁ Θεὸς κάθε ἁμαρτωλὸν ποὺ μετανοεῖ. Ὁ ἄνθρωπος ποὺ ζῇ μακρὰν τοῦ Θεοῦ εἶναι χαμένος. Διότι αὐτὸς βόσκει τότε τοὺς χοίρους τῶν διαφόρων ἁμαρτημάτων του καὶ τῶν κακῶν του πράξεων. Ὁ Θεός, ὡς οὐράνιος πατήρ, διὰ τὴν σωτηρίαν τοῦ ἀνθρώπου εἶναι ἕτοιμος νὰ δεχθῇ πάντα ἄνθρωπον εἰλικρινῶς μετανοοῦντα, ὅπως ὁ πατὴρ τῆς παραβολῆς τὸν ἄσωτον υἱόν του, εἰς τὴν ἀγκάλην του.

ΚΥΡΙΑΚΗ ΤΩΝ ΑΠΟΚΡΕΩ (Ματθ. κε', 31—46)

ΤΟ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

Τῷ καιρῷ ἐκείνῳ εἶπεν ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ. Ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη, καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων, καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα, καὶ ἐποτίσατέ με, ξένος ἤμην, καὶ συνηγάγετέ με, γυμνός, καὶ περιεβάλετέ με, ἠσθένησα, καὶ ἐπεσκέψασθέ με, ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με. τότε ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι λέγοντες· κύριε, πότε σε εἴδομεν πεινῶντα καὶ ἐθρέψαμεν, ἢ διψῶντα καὶ ἐποτίσαμεν ; πότε δέ σε εἴδομεν ξένον καὶ συνηγάγομεν, ἢ γυμνὸν καὶ περιεβάλομεν ; πότε δέ σε εἴδομεν ἀσθενῆ ἢ ἐν φυλακῇ, καὶ ἤλθομεν πρός σε ; καὶ ἀποκριθεὶς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὁ βασιλεὺς ἐρεῖ αὐτοῖς· ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων· πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με, ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με, γυμνός, καὶ οὐ περιεβάλετέ με, ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με. τότε ἀποκριθήσονται καὶ αὐτοὶ λέγοντες· κύριε, πότε σε εἴδομεν πεινῶντα ἢ διψῶντα ἢ ξένον ἢ γυμνὸν ἢ ἀσθενῆ ἢ ἐν φυλακῇ, καὶ οὐ διηκονήσαμέν σοι ; τότε ἀποκριθήσεται αὐτοῖς λέγων· ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε. καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον.

ΕΡΜΗΝΕΥΤΙΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ

Ὁ Υἱὸς τοῦ ἀνθρώπου = ὁ Ἰησοῦς Χριστὸς ὡς ἄνθρωπος καὶ πρὸς διάκρισιν τῆς θεότητός Του. **ἐν τῇ δόξῃ αὐτοῦ** = μὲ ὅλην Του τὴν δόξαν. **ἀφοριεῖ** = θὰ χωρίσῃ. **ἔριφος** = κατσίκι. **εὐώνυμα** = ἀριστερά. **δεῦτε** = ἔλθετε. **συνηγάγετέ με** = μὲ ἐφιλοξενήσατε. **περιεβάλετέ με** = μὲ ἐνεδύσατε. **οἱ δίκαιοι** = οἱ εὐσεβεῖς. **ἐρεῖ** = θὰ εἴπῃ. **οὐ διηκονήσαμέν σοι** = δὲν σὲ ὑπηρετήσαμεν. **τῶν ἐλαχίστων** = τῶν πτωχῶν, τῶν περιφρονημένων διὰ τὴν ἔλλειψιν πλούτου καὶ τιμῶν κοσμικῶν. **ἀπελεύσονται** = θὰ ὑπάγουν.

ΣΥΝΤΟΜΟΣ ΑΝΑΠΤΥΞΙΣ ΤΟΥ ΠΕΡΙΕΧΟΜΕΝΟΥ

Οἱ νεκροὶ κοιμοῦνται τὸν ὕπνον τοῦ θανάτου εἰς τοὺς τάφους των μέχρι τῆς ἡμέρας τῆς Δευτέρας Παρουσίας, δηλαδὴ τῆς κοινῆς ἀναστάσεως τῶν νεκρῶν. Πότε ὅμως θὰ ἔλθῃ ἡ ἡμέρα αὐτὴ οὐδεὶς γνωρίζει παρὰ μόνον ὁ Θεός.

Περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν ὡμίλησεν ὁ Κύριος πρὸς τοὺς Σαδδουκαίους, οἱ ὁποῖοι δὲν ἐπίστευον εἰς τὴν ἀνάστασιν τῶν νεκρῶν (Ματθ. κε', 33). Ὁ Κύριος καθαρὰ ὁμιλεῖ περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν καὶ περὶ τῆς κρί-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σεως αὐτῶν ὑπ' Αὐτοῦ καθὼς καὶ ὅλου τοῦ κόσμου. Διότι ὁ Χριστὸς ἐσταυρώθη διὰ τὴν σωτηρίαν τοῦ κόσμου καὶ μᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τῆς ἁμαρτίας. Ὁ Χριστὸς θὰ κρίνῃ τότε τὸν κόσμον συμφώνως πρὸς τὰ ἔργα ἑνὸς ἑκάστου. Τὰ ἔργα τῆς ἀγάπης πρὸς τὸν πλησίον μας φανερώνουν τὴν πραγματικήν μας πίστιν καὶ ἀγάπην πρὸς τὸν Θεόν. Ὅλα τὰ ἔργα τῆς ἀγάπης πρὸς τοὺς πάσχοντας, μαζὶ μὲ τὴν θερμὴν καὶ ζωντανὴν πίστιν μας εἰς τὸν Θεὸν καὶ τὸν Μονογενῆ υἱόν Του Χριστόν, σώζουν τὸν ἄνθρωπον.

Ἡ Χριστιανικὴ ἀγάπη καὶ ἀρετὴ καθοδηγεῖ τὸν ἄνθρωπον εἰς πᾶν ἔργον ἀγαθόν.

ΚΥΡΙΑΚΗ ΤΗΣ ΤΥΡΟΦΑΓΟΥ (Ματθ. στ', 14—21)

ΤΟ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

Εἶπεν ὁ Κύριος· ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος· ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν.

Ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταὶ σκυθρωποί· ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες· ἀμὴν λέγω ὑμῖν ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. σὺ δὲ νηστεύων ἄλειψαί σου τὴν κεφαλὴν καὶ τὸ πρόσωπόν σου νίψαι, ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ, καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν τῷ φανερῷ.

Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι· θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσιν· ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΕΡΜΗΝΕΥΤΙΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ

Ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις = ἐὰν συγχωρήσετε εἰς τοὺς ἀνθρώπους. **τὰ παραπτώματα αὐτῶν** = τὰ σφάλματα αὐτῶν. **ἀφήσει καὶ ὑμῖν** = θὰ συγχωρήση καὶ σὲ σᾶς τὰ σφάλματά σας. **ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος** = ὁ Θεός. **μὴ γίνεσθε** = νὰ μὴ γίνεσθε. **σκυθρωποὶ** = λυπημένοι. **ἀφανίζουσι** = παραμορφώνουσι. **ἀπέχουσι τὸν μισθὸν αὐτῶν** = λαμβάνουν τὸν μισθὸν αὐτῶν παρὰ τῶν ἀνθρώπων, τοὺς ἐκτιμοῦν οἱ ἄνθρωποι. **ἐν τῷ φανερῷ** = φανερὰ κατὰ τὴν Δευτέραν Παρουσίαν, ἐνώπιον ὅλου τοῦ κόσμου καὶ τῶν ἀγγέλων, θὰ ἀμείψη ὁ Θεὸς τὰς καλὰς πράξεις. **ἄλειψαί σου τὴν κεφαλὴν** = περιποιήσου τὸν ἑαυτόν σου καὶ νὰ εἶσαι χαρούμενός. **θησαυροὺς** = χρήματα, κτήματα. **σὴς** = σκῶρος. **βρῶσις** = ἡ σκουριά, ἡ σῆψις. **διορύσσουσι** = σκάπτουν, τρυποῦν τὸν τοῖχον.

ΣΥΝΤΟΜΟΣ ΑΝΑΠΤΥΞΙΣ ΤΟΥ ΠΕΡΙΕΧΟΜΕΝΟΥ

Ὀφείλομεν ὡς Χριστιανοὶ νὰ συγχωρῶμεν ὅλους πού μᾶς ἔχουν ὁπωσδήποτε βλάψει. Ἐπίσης νὰ προσέχωμεν ἀπὸ τὴν ὑποκρισίαν καὶ ὅταν ἀκόμη νηστεύωμεν νὰ μὴ παρουσιαζώμεθα εἰς τὴν κοινωνίαν σκυθρωποὶ καὶ λυπημένοι, ἀλλὰ πάντοτε χαρούμενοι καὶ εὔθυμοι καὶ νὰ ἐκτελοῦμεν ἔργα ἀγαθά. Διότι ὁ Χριστιανισμὸς εἶναι θρησκεία χαρᾶς. Ὁ Χριστιανὸς πρέπει νὰ εἶναι γεμᾶτος ζωὴν καὶ δύναμιν πνευματικήν. Ἔπειτα, διὰ νὰ εἶναι ἡ νηστεία ἀληθινὴ δὲν πρέπει νὰ περιορίζεται μόνον εἰς τὸ νὰ μὴ τρώγη κανεὶς ὡρισμένας τροφάς, ἀλλὰ μαζὶ μὲ τὴν νηστείαν τῶν ὡρισμένων τροφῶν, τὴν ὁποίαν ποτὲ δὲν πρέπει νὰ περιφρονοῦμεν, νὰ ἀποφεύγη καὶ νὰ ἀπομακρύνη τὸν ἑαυτόν του ἀπὸ κάθε ἁμαρτωλὴν πρᾶξιν. Διὰ τῆς νηστείας δύναται ὁ Χριστιανὸς νὰ ὑποτάξη τὸν ἐγωϊσμόν του, ὅλα τὰ πάθη τῆς σαρκός του καθὼς καὶ κάθε ἁμαρτωλὸν καὶ παράνομον πρᾶξιν του. Τὴν νηστείαν ὥρισε ὁ Θεὸς ὡς πρῶτον νόμον εἰς τοὺς πρώτους ἀνθρώπους. Ἐπίσης μᾶς φανερώνει ὁ Κύριος ποῖος εἶναι ὁ πραγματικὸς θησαυρὸς τὸν ὁποῖον πρέπει νὰ ἀποκτήσωμεν χωρὶς νὰ ὑπάρχη φόβος νὰ τὸν χάσωμεν ποτέ. Διότι αὐτὸς τοποθετεῖται εἰς τοὺς οὐρανοὺς καὶ ὄχι εἰς τὴν γῆν, καθὼς οἱ θησαυροὶ τοῦ κόσμου, οἱ ὁποῖοι κλέπτονται ἢ καταστρέφονται. Δι' αὐτὸ μᾶς προτρέπει ὁ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Κύριος νὰ ἀποκτήσωμεν τὸν πραγματικὸν θησαυρόν, δηλαδὴ τὴν χριστιανικὴν πίστιν, διὰ τῆς ὁποίας καὶ μόνον θὰ εὐτυχήσωμεν εἰς τὴν παροῦσαν ζωήν μας καὶ εἰς τὴν μέλλουσαν.

ΚΥΡΙΑΚΗ Α' ΤΩΝ ΝΗΣΤΕΙΩΝ ('Ιωάνν. α', 44—52)

ΤΟ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

Τῷ καιρῷ ἐκείνῳ ἠθέλησεν ὁ 'Ιησοῦς ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν· καὶ εὑρίσκει Φίλιππον καὶ λέγει αὐτῷ· ἀκολούθει μοι. ἦν δὲ ὁ Φίλιππος ἀπὸ Βηθσαϊδά, ἐκ τῆς πόλεως 'Ανδρέου καὶ Πέτρου. εὑρίσκει Φίλιππος τὸν Ναθαναὴλ καὶ λέγει αὐτῷ· ὃν ἔγραψε Μωϋσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται, εὑρήκαμεν, 'Ιησοῦν τὸν υἱὸν τοῦ 'Ιωσὴφ τὸν ἀπὸ Ναζαρέτ. καὶ εἶπεν αὐτῷ Ναθαναήλ· ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι ; λέγει αὐτῷ Φίλιππος· ἔρχου καὶ ἴδε. εἶδεν ὁ 'Ιησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν καὶ λέγει περὶ αὐτοῦ· ἴδε ἀληθῶς 'Ισραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι. λέγει αὐτῷ Ναθαναήλ· πόθεν με γινώσκεις ; ἀπεκρίθη 'Ιησοῦς καὶ εἶπεν αὐτῷ· πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν εἶδόν σε. ἀπεκρίθη Ναθαναὴλ καὶ λέγει αὐτῷ· ραββί, σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ 'Ισραήλ. ἀπεκρίθη 'Ιησοῦς καὶ εἶπεν αὐτῷ· ὅτι εἶπόν σοι, εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις ; μείζω τούτων ὄψει. καὶ λέγει αὐτῷ· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἀπ' ἄρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου.

ΕΡΜΗΝΕΥΤΙΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ

Γαλιλαία· ἦτο ἐπαρχία τῆς Παλαιστίνης. **ὃν ἔγραψε Μωϋσῆς** = ἐκεῖνον, ποὺ ἔγραψεν ὁ Μωϋσῆς εἰς τὸν **Μωσαϊκὸν** Νόμον καὶ ἐπροφήτευσαν οἱ προφῆται. **Ναζαρὲτ** = πόλις μικρὰ τῆς Γαλιλαίας. **ἀληθῶς 'Ισραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι** = γνήσιος 'Ισραηλίτης, εἰς τὸν ὁποῖον δολιότης καὶ ὑποκρισία δὲν ὑπάρχει. **Ραββὶ** = διδά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σκαλε. **μείζω τούτων ὄψει** = θὰ ἴδῃς μεγαλύτερα ἀπὸ αὐτὰ ποὺ εἶδες τώρα. **ἀμὴν ἀμὴν λέγω ὑμῖν** = ἀληθῶς σᾶς λέγω. **ἀπ' ἄρτι ὄψεσθε** = ἀπ' αὐτῆς τῆς στιγμῆς θὰ ἴδετε. **τὸν οὐρανὸν ἀνεῳγότα** = τὸν οὐρανὸν νὰ ἔχῃ ἀνοίξει, δηλαδὴ κατὰ τὴν ἀνάληψιν καὶ τὴν ἀνάστασιν τοῦ Χριστοῦ ὡς καὶ κατὰ τὴν προσευχὴν τοῦ Κυρίου εἰς τὸν κῆπον τῆς Γεθσημανῆς.

ΣΥΝΤΟΜΟΣ ΑΝΑΠΤΥΞΙΣ ΤΟΥ ΠΕΡΙΕΧΟΜΕΝΟΥ

Ὑπάρχουν ὡρισμέναι στιγμαὶ τῆς ζωῆς μας, κατὰ τὰς ὁποίας αἰσθανόμεθα ζωηρότερον τὴν χάριν τοῦ Θεοῦ. Αὐταὶ αἱ στιγμαὶ εἶναι ἐκεῖναι, κατὰ τὰς ὁποίας ἡ ψυχή μας προσεύχεται μὲ θερμότητα πίστεως εἰς ἀπομεμονωμένα καὶ ἐρημικὰ μέρη. Εἰς μίαν τέτοιαν ψυχικὴν διάθεσιν εὑρέθη καὶ ὁ Ναθαναὴλ, ὅταν προσηύχετο μόνος του κάτω ἀπὸ τὴν συκῆν καὶ παρεκάλει τὸν Θεὸν νὰ τὸν ἀξιώσῃ νὰ γνωρίσῃ καὶ αὐτὸς τὸν Μεσσίαν. Αὐτὴ ἡ προσευχή του ἦτο τελείως μυστική. Οὐδέποτε ἐφαντάζετο ὅτι θὰ ἦτο δυνατὸν μάτι ἀνθρώπου νὰ τὸν ἴδῃ. Ἐπίστευεν ὅμως ὅτι τὸν ἔβλεπεν ὁ Θεός. Διότι ὁ Ναθαναὴλ τὸν παρεκάλει εἰς τὴν προσευχήν του ἐκείνην μὲ πίστιν καὶ ταπείνωσιν.

Αὐτὸ ὁ Ἰησοῦς τοῦ ἐφανέρωσεν, ὅταν τὸν ἔφερεν εἰς Αὐτὸν ὁ Φίλιππος. Δι' αὐτὸ τότε ὁ Ναθαναὴλ ἔπεσεν εἰς τοὺς πόδας τοῦ Ἰησοῦ, ἐπίστευσεν εἰς Αὐτὸν καὶ Τὸν ὡμολόγησε Μεσσίαν, δηλαδὴ υἱὸν τοῦ Θεοῦ καὶ Βασιλέα τοῦ Ἰσραήλ. Δηλαδὴ πνευματικὸν Βασιλέα τῶν ἀνθρώπων, ποὺ πιστεύουν εἰς τὸν Θεὸν καὶ πράττουν τὸ θέλημά Του.

Ὅστις ζητήσῃ μὲ θερμὴν προσευχὴν ἀπὸ τὸν Θεὸν νὰ τοῦ φανερώσῃ τὸ ἀγαθὸν τῆς ζωῆς του καὶ νὰ τὸν ὁδηγήσῃ εἰς τὸν δρόμον τῆς ἀρετῆς, αὐτὸς ἀσφαλῶς τοῦτο τὸ ἐπιτυγχάνει.

ΚΥΡΙΑΚΗ Β' ΤΩΝ ΝΗΣΤΕΙΩΝ (Μάρκ. β', 1—12)

ΤΟ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

Τῷ καιρῷ ἐκείνῳ εἰσῆλθε πάλιν ὁ Ἰησοῦς εἰς Καπερναούμ δι' ἡμερῶν καὶ ἠκούσθη ὅτι εἰς οἶκόν ἐστι·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ εὐθέως συνήχθησαν πολλοί, ὥστε μηκέτι χωρεῖν μηδὲ τὰ πρὸς τὴν θύραν· καὶ ἐλάλει αὐτοῖς τὸν λόγον. καὶ ἔρχονται πρὸς αὐτὸν παραλυτικὸν φέροντες, αἰρόμενον ὑπὸ τεσσάρων. καὶ μὴ δυνάμενοι προσεγγίσαι αὐτῷ διὰ τὸν ὄχλον, ἀπεστέγασαν τὴν στέγην ὅπου ἦν, καὶ ἐξορύξαντες χαλῶσι τὸν κράβαττον, ἐφ' ᾧ ὁ παραλυτικὸς κατέκειτο. ἰδὼν δὲ ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν λέγει τῷ παραλυτικῷ· τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ καθήμενοι καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν· τί οὗτος οὕτω λαλεῖ βλασφημίας ; τίς δύναται ἀφιέναι ἁμαρτίας εἰ μὴ εἷς ὁ Θεός ; καὶ εὐθέως ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύματι αὐτοῦ ὅτι οὕτως αὐτοὶ διαλογίζονται ἐν ἑαυτοῖς, εἶπεν αὐτοῖς· τί ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν ; τί ἐστιν εὐκοπώτερον, εἰπεῖν τῷ παραλυτικῷ, ἀφέωνταί σου αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, ἔγειρε καὶ ἆρον τὸν κράβαττόν σου καὶ περιπάτει ; ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἐπὶ τῆς γῆς ἁμαρτίας, λέγει τῷ παραλυτικῷ· σοὶ λέγω, ἔγειρε καὶ ἆρον τὸν κράβαττόν σου καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. καὶ ἠγέρθη εὐθέως, καὶ ἄρας τὸν κράβαττον ἐξῆλθεν ἐναντίον πάντων, ὥστε ἐξίστασθαι πάντας καὶ δοξάζειν τὸν Θεὸν λέγοντας ὅτι οὐδέποτε οὕτως εἴδομεν.

ΕΡΜΗΝΕΥΤΙΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ

Συνήχθησαν = συνηθροίσθησαν. **ὥστε μηκέτι χωρεῖν μηδὲ τὰ πρὸς τὴν θύραν** = ὥστε διόλου νὰ μὴ ὑπάρχῃ τόπος οὔτε ἔξω τῆς θύρας τοῦ σπιτιοῦ, δηλαδὴ πρὸ τῆς ἐξόδου. **καὶ ἐλάλει αὐτοῖς τὸν λόγον** = καὶ ἐκήρυττεν εἰς αὐτούς. **αἰρόμενον ὑπὸ τεσσάρων** = τὸν ὁποῖον ἐβάσταζαν τέσσαρες. **προσεγγίσαι αὐτῷ** = νὰ τὸν πλησιάσουν. **ἀπεστέγασαν** = ἐξεσκέπασαν. **καὶ ἐξορύξαντες** = καὶ ἀφοῦ ἐξεκάρφωσαν καὶ ἐξύλωσαν ἕνα μέρος τῆς στέγης. **χαλῶσι τὸν κράβαττον** = κατεβάζουν τὸν κράβαττον « πρὸ τοῦ Χριστοῦ, ὁ ὁποῖος ἐδίδασκε ». **τὴν πίστιν αὐτῶν**· δηλ. τοῦ παραλυτικοῦ καὶ τῶν βασταζόντων αὐτόν. **ἀφέωνταί σοι** = ἂς εἶναι συγχωρημέναι. **ἀφι-**

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

έναι ἁμαρτίας = νὰ συγχωρῇ τὰς ἁμαρτίας. **ἐπιγνούς...** = γνωρίσας καλῶς καὶ ἀκριβῶς τοὺς ἐναντίον αὐτοῦ πονηροὺς διαλογισμούς. **διαλογίζεσθε** = σκέπτεσθε. **εὐκοπώτερον** = εὐκολώτερον. **καὶ ἆρον τὸν κράβαττόν σου** = σήκωνε εἰς τοὺς ὤμους σου τὸ κρεβάτι σου. **ἵνα δὲ εἰδῆτε** = διὰ νὰ μάθετε. **ἐξουσίαν** = δύναμιν. **ἐξῆλθεν ἐναντίον πάντων** = ἐξῆλθεν ἐμπρὸς ἀπὸ ὅλους. **ὥστε ἐξίστασθαι πάντας** = ὥστε, βλέποντες αὐτὸν τὸν πρότερον παραλυτικὸν καὶ τώρα ὑγιῆ, ἐθαύμασαν ὅλοι καὶ ἐδόξαζον τὸν Θεόν.

ΣΥΝΤΟΜΟΣ ΑΝΑΠΤΥΞΙΣ ΤΟΥ ΠΕΡΙΕΧΟΜΕΝΟΥ

Εἰς τὴν Καπερναοὺμ ὁ Κύριος ἐθεράπευσεν ἕνα παραλυτικόν, ὅταν ἐδίδασκε τὸν λαὸν ἐντὸς μιᾶς οἰκίας ἐπὶ παρουσίᾳ Γραμματέων, Φαρισαίων καὶ Νομοδιδασκάλων. Τόσος πολὺς κόσμος εἶχε μαζευθῆ ἐκεῖ, ἐντὸς καὶ ἐκτὸς τῆς οἰκίας, ὥστε ἡ οἰκία καὶ τὰ γύρω αὐτῆς ἐγέμισαν ἀπ' ὅλα τὰ μέρη. Τότε ἔφεραν πρὸς τὸν Ἰησοῦν τέσσαρες ἄνθρωποι ἕνα παραλυτικὸν ἐπάνω σὲ ἕνα κρεβάτι, διὰ νὰ ζητήσουν τὴν θεραπείαν του. Θέλουν νὰ εἰσέλθουν εἰς τὴν οἰκίαν ποὺ ἦτο ὁ Σωτήρ, ἀλλὰ τοῦτο ἦτο ἀδύνατον, διότι εἶχε μαζευθῆ εἰς τὸ σπίτι ἐκεῖνο πολὺς κόσμος, καὶ τοὺς ἦτο ἀδύνατον νὰ πλησιάσουν καὶ τὴν θύραν τῆς οἰκίας. Ἡ πίστις ὅμως τῶν ἀνθρώπων ποὺ ἐβάσταζον τὸν παραλυτικόν, καθὼς καὶ τοῦ παραλυτικοῦ, ἦτο πίστις θερμή. Δι' αὐτό, μὲ τὴν δύναμιν τῆς πίστεώς των, δὲν ἔχασαν τὸ θάρρος των οὔτε τὴν ἀπόφασίν των νὰ πλησιάσουν τὸν Χριστόν. Διότι ἡ πίστις ἡ πραγματικὴ δὲν γνωρίζει ἐμπόδια καὶ φόβους. Δι' αὐτὸ ἐκεῖνοι, οἱ ὁποῖοι ἐβάσταζον τὸν παραλυτικόν, ἀνέβησαν εἰς τὴν στέγην τῆς οἰκίας καὶ χωρὶς νὰ διστάσουν καὶ νὰ ὑπολογίσουν τίποτε, ἀφῄρεσαν τὰ κεραμίδια τῆς οἰκίας, κατέστρεψαν μέρος τῆς στέγης καὶ ἐκρέμασαν μὲ σχοινιὰ τὸν παραλυτικὸν πρὸ τοῦ Χριστοῦ, διὰ νὰ ἐπιτύχουν τὴν θεραπείαν του. Ἡ θερμὴ πίστις αὐτῶν βραβεύεται ἀμέσως ὑπὸ τοῦ Κυρίου. Ὁ Ἰησοῦς τοῦ ἐχάρισε περισσότερα ἀπὸ αὐτὴν τὴν θεραπείαν τοῦ σώματος. Τοῦ συνεχώρησε τὰς ἁμαρτίας τῆς ψυχῆς του: « Τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου ». Ὁ Παραλυτικὸς τότε ἐκατάλαβε μίαν νέαν δύναμιν νὰ διατρέχῃ τὸ παραλελυμένον σῶμά του. Μὲ τὴν δύ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ναμιν αὐτὴν ἐσηκώθη, ἐστάθη εἰς τὰ πόδια του καὶ ἐξεκίνησε μόνος του διὰ τὴν κατοικίαν του. Ἐπέρασεν ἐμπρὸς ἀπὸ ὅλους βαστάζων ἐπὶ τῶν ὤμων του τὸ κρεβάτι τῆς ἀσθενείας του. Αὐτὴν τὴν ἐντολὴν τοῦ ἔδωσε ὁ Κύριος κατὰ τὴν στιγμὴν τῆς θεραπείας του. Ἡ διὰ θαύματος θεραπεία τοῦ παραλυτικοῦ ἔκαμεν ὅλον τὸν παρευρισκόμενον λαὸν νὰ θαυμάσῃ καὶ νὰ δοξάσῃ τὸν Θεόν.

ΚΥΡΙΑΚΗ Γ' ΤΩΝ ΝΗΣΤΕΙΩΝ (Μάρκ. η', 34—38, καὶ θ', 1)

ΤΟ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

Εἶπεν ὁ Κύριος· ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ἑαυτοῦ ψυχὴν ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, οὗτος σώσει αὐτήν. τί γὰρ ὠφελήσει ἄνθρωπον ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ ; ὃς γὰρ ἐὰν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων. καὶ ἔλεγεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.

ΕΡΜΗΝΕΥΤΙΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ

Ὅστις θέλει ὀπίσω μου ἐλθεῖν = ὅποιος θέλει νὰ γίνῃ μαθητής μου. **ἀπαρνησάσθω ἑαυτὸν** = νὰ ἀπαρνηθῇ τὸν ἑαυτόν του. **καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ** = καὶ ἂς σηκώσῃ τὸν σταυρόν του. Ἂς ἀποφασίσῃ νὰ ὑποφέρῃ μὲ ὑπομονὴν διὰ τὸ ὄνομά Μου. Διὰ τὴν πίστιν του εἰς Ἐμὲ — λέγει ὁ Κύριος — καὶ διὰ τὴν ὑπακοήν του εἰς τὸν νόμον Μου. Νὰ ἀφήσῃ τὰς κακὰς ἐπιθυμίας του καὶ νὰ νεκρώσῃ τὰ πάθη του. **καὶ ἀκολουθείτω μοι** = καὶ ἂς μὲ ἀκολουθήσῃ. Τότε θηλαδὴ εἶναι ἄξιος μαθητής μου. **σῶσαι τὴν ψυχὴν αὐτοῦ** = νὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σώσῃ τὴν ζωήν του· ἡ λέξις ψυχὴ εἰς τὸ σημεῖον αὐτὸ σημαίνει ζωή. **ἀπολέσει αὐτὴν** = θὰ χάσῃ αὐτὴν χάριν τῆς πίστεως εἰς τὸν Χριστὸν καὶ τῆς ἐξαπλώσεως τῆς διδασκαλίας τοῦ Χριστοῦ εἰς τὸν κόσμον. **τί γὰρ ὠφελήσει ἄνθρωπον** = τὶ θὰ ὠφελήσῃ τὸν ἄνθρωπον. **ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ** = κάτι ποὺ νὰ εἶναι τῆς αὐτῆς ἀξίας μὲ τὴν ψυχήν του. **ὃς γὰρ ἐὰν ἐπαισχυνθῇ με** = ὅστις ἐντραπῇ νὰ παραδεχθῇ τὴν διδασκαλίαν μου ὡς καὶ ἐμὲ ὡς Σωτῆρα του καὶ λυτρωτήν. **ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι** = εἰς τὸν κόσμον αὐτὸν τὸν ἀνήθικον καὶ ἁμαρτωλόν. **ὁ υἱὸς τοῦ ἀνθρώπου** = ὁ Χριστός. **ἐπαισχυνθήσεται αὐτὸν** = θὰ τὸν θεωρήσῃ ἀνάξιον. **ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ** = κατὰ τὴν ἔνδοξον αὐτοῦ Δευτέραν Παρουσίαν. **τῶν ὧδε ἑστηκότων** = ἐκ τῶν εὑρισκομένων ἐδῶ. **οὐ μὴ γεύσωνται θανάτου** = δὲν θὰ ἀποθάνουν. Ἐννοεῖ τοὺς τρεῖς μαθητάς του, τὸν Πέτρον, τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην, οἱ ὁποῖοι εἶδον τὴν δόξαν τοῦ Θεοῦ ἐπάνω εἰς τὸ Θαβώριον Ὄρος κατὰ τὴν Μεταμόρφωσίν του. **ἐληλυθυῖαν ἐν δυνάμει** = ἐρχομένην μὲ δύναμιν καὶ δόξαν.

ΣΥΝΤΟΜΟΣ ΑΝΑΠΤΥΞΙΣ ΤΟΥ ΠΕΡΙΕΧΟΜΕΝΟΥ

Οὐδεὶς ἀναγκάζεται νὰ γίνῃ καὶ νὰ εἶναι Χριστιανός. Ἀλλὰ ὅποιος θέλει νὰ γίνῃ καὶ νὰ ἀκολουθήσῃ τὸν Κύριον, αὐτὸς πρέπει νὰ ἀπαρνηθῇ τὸν ἑαυτόν του, δηλαδὴ τὰς κακὰς ἐπιθυμίας του καὶ τὴν ἁμαρτωλὴν ζωήν του, καὶ νὰ ὑποτάξῃ ὁλόκληρον τὸν ἑαυτόν του εἰς τὸν νόμον καὶ τὸ θέλημα τοῦ Χριστοῦ. Κάθε πρᾶξίν του καὶ κάθε ἐπιθυμίαν του ποὺ δὲν θὰ εἶναι σύμφωνος πρὸς τὸν ἠθικὸν νόμον τοῦ Χριστοῦ θὰ πρέπῃ νὰ τὰς ἀπορρίψῃ ἀπὸ τὴν ζωήν του καὶ νὰ ἀρνηθῇ τὰς κακάς του ἐπιθυμίας καὶ ἁμαρτίας. Ἄλλως ματαίως κοπιάζει. Πρέπει νὰ θυσιάσῃ τὸ ἁμαρτωλὸν καὶ ταπεινὸν ἐγώ του, ἀπὸ τὸ ὁποῖον προέρχεται κάθε ἁμαρτία, καὶ ἀφοῦ ἀπαλλαγῇ ἀπὸ αὐτὴν τὴν ψυχικὴν ἀσθένειάν του τότε θὰ κατορθώσῃ νὰ ἀκολουθήσῃ τὸν δρόμον τῆς ἀρετῆς καὶ νὰ γίνῃ τέλειος Χριστιανός.

Ἡ ψυχὴ τοῦ ἀνθρώπου, διὰ νὰ ζήσῃ εἰς τὴν αἰωνιότητα, πρέπει νὰ τρέφεται διαρκῶς μὲ τὸν λόγον τοῦ Χριστοῦ καὶ τὴν ὑπακοὴν εἰς Αὐτόν. Ἡ πίστις πρὸς τὸν Χριστὸν εἶναι ζωὴ διὰ τὴν ψυχὴν τοῦ ἀνθρώπου, ἡ δὲ ἀπιστία ψυχικὸς θάνατος. Ἀλλ' ἐὰν χαθῇ ἡ ψυχὴ τοῦ ἀνθρώπου χάριν τοῦ κό-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σμου καὶ τῶν ἁμαρτωλῶν τρόπων τῆς ἀντιχριστιανικῆς του ζωῆς, τότε μὲ τί ἠμπορεῖ νὰ ἐξαγορασθῇ ; Μὲ τίποτε. Διότι κανένα πρᾶγμα τοῦ κόσμου, ἀλλ' οὔτε καὶ ὁλόκληρος ὁ κόσμος μὲ ὅλα τὰ ἀγαθά του, ἐὰν ἠμποροῦσε νὰ δοθῇ, δὲν θὰ ἦτο ἱκανὸς νὰ ἐξαγοράσῃ μίαν χαμένην ψυχήν. Ὁ κόσμος ὅλος εἶναι φθαρτὸς καὶ πρόσκαιρος, ἡ δὲ ψυχὴ τοῦ ἀνθρώπου αἰώνιος καὶ ἀθάνατος.

ΚΥΡΙΑΚΗ Δ' ΤΩΝ ΝΗΣΤΕΙΩΝ (Μάρκ. θ', 17—31)

ΤΟ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

Τῷ καιρῷ ἐκείνῳ ἄνθρωπός τις προσῆλθε τῷ Ἰησοῦ, γονυπετῶν αὐτῷ καὶ λέγων· διδάσκαλε, ἤνεγκα τὸν υἱόν μου πρός σε, ἔχοντα πνεῦμα ἄλαλον. καὶ ὅπου ἂν αὐτὸν καταλάβῃ, ῥήσσει αὐτόν, καὶ ἀφρίζει κάὶ τρίζει τοὺς ὀδόντας αὐτοῦ, καὶ ξηραίνεται· καὶ εἶπον τοῖς μαθηταῖς σου ἵνα αὐτὸ ἐκβάλωσι, καὶ οὐκ ἴσχυσαν. ὁ δὲ ἀποκριθεὶς αὐτῷ λέγει· ὦ γενεὰ ἄπιστος, ἕως πότε πρὸς ὑμᾶς ἔσομαι ; ἕως πότε ἀνέξομαι ὑμῶν ; φέρετε αὐτὸν πρός με. καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτόν. καὶ ἰδὼν αὐτὸν εὐθέως τὸ πνεῦμα ἐσπάραξεν αὐτόν, καὶ πεσὼν ἐπὶ τῆς γῆς ἐκυλίετο ἀφρίζων. καὶ ἐπηρώτησε τὸν πατέρα αὐτοῦ· πόσος χρόνος ἐστὶν ὡς τοῦτο γέγονεν αὐτῷ ; ὁ δὲ εἶπε· παιδιόθεν. καὶ πολλάκις αὐτὸν καὶ εἰς πῦρ ἔβαλε καὶ εἰς ὕδατα, ἵνα ἀπολέσῃ αὐτόν· ἀλλ' εἴ τι δύνασαι, βοήθησον ἡμῖν σπλαγχνισθεὶς ἐφ' ἡμᾶς. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ τὸ εἰ δύνασαι πιστεῦσαι, πάντα δυνατὰ τῷ πιστεύοντι. καὶ εὐθέως κράξας ὁ πατὴρ τοῦ παιδίου μετὰ δακρύων ἔλεγε· πιστεύω, κύριε· βοήθει μου τῇ ἀπιστίᾳ. ἰδὼν δὲ ὁ Ἰησοῦς ὅτι ἐπισυντρέχει ὄχλος, ἐπετίμησε τῷ πνεύματι τῷ ἀκαθάρτῳ λέγων αὐτῷ· τὸ πνεῦμα τὸ ἄλαλον καὶ κωφόν, ἐγώ σοι ἐπιτάσσω, ἔξελθε ἐξ αὐτοῦ καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν. καὶ κράξαν καὶ πολλὰ σπαράξαν αὐτὸν ἐξῆλθε, καὶ ἐγένετο ὡσεὶ νεκρός,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὥστε πολλοὺς λέγειν ὅτι ἀπέθανεν. ὁ δὲ Ἰησοῦς κρατήσας αὐτὸν τῆς χειρὸς ἤγειρεν αὐτόν, καὶ ἀνέστη. Καὶ εἰσελθόντα αὐτὸν εἰς οἶκον οἱ μαθηταὶ αὐτοῦ ἐπηρώτων αὐτὸν κατ' ἰδίαν, ὅτι ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό. καὶ εἶπεν αὐτοῖς· τοῦτο τὸ γένος ἐν οὐδενὶ δύναται ἐξελθεῖν εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ.

Καὶ ἐκεῖθεν ἐξελθόντες παρεπορεύοντο διὰ τῆς Γαλιλαίας, καὶ οὐκ ἤθελεν ἵνα τις γνῷ· ἐδίδασκε γὰρ τοὺς μαθητὰς αὐτοῦ καὶ ἔλεγεν αὐτοῖς ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ ἀποκτανθεὶς τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.

ΕΡΜΗΝΕΥΤΙΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ

Ἤνεγκα = ἔφερα. **ἔχοντα πνεῦμα ἄλαλον** = ὁ ὁποῖος εἶχε καταληφθῆ ἀπὸ πονηρὸν πνεῦμα, τὸ ὁποῖον ἔκαμε αὐτὸν κωφὸν καὶ χωρὶς φωνὴν (ἄλαλον). **ῥήσσει αὐτὸν** = τὸν σπαράζει· **ξηραίνεται** = γίνεται σὰν πεθαμένος· **οὐκ ἴσχυσαν** = δὲν ἠδυνήθησαν. **πρὸς ὑμᾶς ἔσομαι** = θὰ εἶμαι μαζί σας. **ἀνέξομαι ὑμῶν**=θὰ σᾶς ὑποφέρω, θὰ σᾶς ἀνέχωμαι. **ὡς τοῦτο γέγονεν**= ἀπὸ τότε ποὺ τοῦ συνέβη αὐτό. **παιδιόθεν**=ἀπὸ μικρᾶς ἡλικίας. **εἴ τι δύνασαι** = ἐὰν μπορῇς. **πάντα** = ὅλα εἶναι δυνατὰ δι' ἐκεῖνον ποὺ πιστεύει. **βοήθει μον τῇ ἀπιστίᾳ**= = βοήθησε νὰ πιστεύσω. **ἐπισυντρέχει**= μαζεύεται. **ἐπετίμησε**=διέταξε. **μηκέτι** = ποτὲ ἄλλοτε· **κράξαν**=ἀφοῦ τὸ πονηρὸν πνεῦμα ἐφώναξε δυνατά. **εἰσελθόντα αὐτὸν**=ἀφοῦ ὁ Ἰησοῦς εἰσῆλθεν εἰς ἕνα οἰκίτι. **ὅτι ἡμεῖς** = διατὶ ἡμεῖς. **τοῦτο τὸ γένος**= δηλ. τῶν πονηρῶν πνευμάτων αὐτοῦ τοῦ γένους, τὰ δαιμόνια. **ἐν προσευχῇ καὶ νηστείᾳ** = διὰ προσευχῆς καὶ νηστείας. **ἵνα γνῷ** = νὰ τὸ μάθῃ, νὰ τὸ γνωρίσῃ. **ἀποκτενοῦσιν αὐτὸν** = θὰ τὸν φονεύσουν. **ἀποκτανθεὶς**=ἀφοῦ σταυρωθῇ (ἀφοῦ φονευθῇ).

ΣΥΝΤΟΜΟΣ ΑΝΑΠΤΥΞΙΣ ΤΟΥ ΠΕΡΙΕΧΟΜΕΝΟΥ

Ὁ αἰώνιος ἐχθρὸς τῆς ἀνθρωπίνης εὐτυχίας εἶναι ὁ ἀποστάτης διάβολος. Αὐτὸς πάντοτε μηχανεύεται τὸ κακὸν διὰ τὸν ἄνθρωπον. Αὐτὸς ἐβασάνιζε καὶ τὸ παιδὶ ποὺ ὁ πατέρας του τὸ ἔφερεν εἰς τὸν Ἰησοῦν Χριστόν, διὰ νὰ τὸ θεραπεύσῃ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Εἰς τὴν διαταγὴν τοῦ Χριστοῦ ὁ διάβολος ἀπεχώρησεν ἀμέσως ἐκ τοῦ πάσχοντος παιδίου. Ἐξῆλθεν ἀπὸ τὸ δυστυχισμένο ἐκεῖνο παιδί, ἀλλὰ ἀφοῦ προηγουμένως προσεπάθησε διὰ παντὸς τρόπου νὰ τὸ βλάψῃ.

Εἰς τὴν τραγικὴν αὐτὴν ἀλλὰ καὶ τελευταίαν συμφορὰν τοῦ σεληνιαζομένου παιδιοῦ, ὁ Ἰησοῦς τὸ ἐκράτησε ἀπὸ τὸ χέρι του καὶ τὸ ἐσήκωσε ὄρθιον καὶ τὸ ἐθεράπευσεν. Ἀλλὰ προηγουμένως ἐζήτησεν ὁ Ἰησοῦς ἀπὸ τὸν πατέρα τοῦ πάσχοντος παιδιοῦ νὰ πιστεύσῃ εἰλικρινῶς εἰς αὐτόν. Ὁ δυστυχὴς πατὴρ τοῦ σεληνιαζομένου παιδίου δὲν εἶχε θερμὴν πίστιν. Ἡ πίστις του ἦτο ἀδύνατος καὶ χλιαρά. Ἡ ἀπιστία του ἦτο ἀφορμὴ διὰ νὰ μὴ θεραπευθῇ τὸ παιδί του ἀπὸ τοὺς μαθητὰς τοῦ Χριστοῦ, ποὺ πρῶτα τὸ ἔφερεν εἰς αὐτούς. Αὐτὸ ἦτο μυστικὸν ἰδικόν του, ἀλλ' ὁ Κύριος τοῦ τὸ ἐφανέρωσε. Τοῦ εἶπε πὼς δὲν θὰ θεραπευθῇ ὁ υἱός του ἐφ' ὅσον αὐτὸς δὲν ἔχει σταθερὰν πίστιν εἰς Αὐτόν. Τότε μὲ τὰ λόγια αὐτὰ τοῦ Σωτῆρος ἐφωτίσθη ἡ ψυχή του, ἐννόησε τοῦτο καὶ μὲ δάκρυα εἰς τοὺς ὀφθαλμούς του ἐφώναξε νὰ τὸν ἀκούσουν ὅλοι: Πιστεύω, Κύριε, ἀλλὰ βοήθησέ με Σὺ νὰ πιστεύσω περισσότερον. Τοῦτο ἦτο μία ἐξομολόγησις τῆς ὀλιγοπιστίας του. Δι' αὐτὸ μετὰ τὴν ὁμολογίαν αὐτὴν τοῦ ἀνθρώπου ἐκείνου ἐπετίμησεν ὁ Κύριος τὸ πονηρὸν πνεῦμα καὶ ἐθεράπευσε τὸν πάσχοντα υἱόν του.

Τότε οἱ μαθηταί Του παρεκάλεσαν αὐτὸν νὰ τοὺς εἴπῃ διατί αὐτοὶ δὲν ἠδυνήθησαν νὰ τὸν θεραπεύσουν. Καὶ ὁ Κύριος ἀπήντησεν εἰς αὐτοὺς ὅτι ἡ ὀλιγοπιστία των καὶ ἡ ἀπιστία τοῦ πατρὸς τοῦ δαιμονιζομένου παιδιοῦ ἦτο ἐμπόδιον τοῦ νὰ μὴ ἠμπορέσουν αὐτοὶ νὰ τὸ θεραπεύσουν. Διότι αὐτοῦ τοῦ εἴδους ἡ ἀσθένεια δὲν θεραπεύεται παρὰ μόνον διὰ προσευχῆς καὶ νηστείας.

Ἡ προσευχὴ καὶ ἡ νηστεία, μαζὶ μὲ τὴν θερμὴν καὶ ζωντανὴν πίστιν εἰς τὸν Ἰησοῦν Χριστόν, εἶναι τὰ μόνα σωτήρια φάρμακα διὰ τὴν ψυχὴν τοῦ ἀνθρώπου καὶ τὴν πνευματικὴν αὐτοῦ ζωήν.

Μετὰ τὸ θαῦμα τοῦτο διαβαίνων ὁ Ἰησοῦς τὴν Γαλιλαίαν καὶ ἐρχόμενος εἰς τὴν Καπερναούμ, προέλεγεν εἰς τοὺς μαθητάς Του τὸν Σταυρικόν Του θάνατον καὶ τὴν ἐκ νεκρῶν τριήμερον ἀνάστασίν Του.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΥΡΙΑΚΗ Ε' ΤΩΝ ΝΗΣΤΕΙΩΝ (Μάρκ. ι', 32—45)

ΤΟ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

Τῷ καιρῷ ἐκείνῳ παραλαβὼν ὁ Ἰησοῦς τοὺς δώδεκα ἤρξατο αὐτοῖς λέγειν τὰ μέλλοντα αὐτῷ συμβαίνειν, ὅτι ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσι, καὶ ἐμπαίξουσιν αὐτῷ καὶ μαστιγώσουσιν αὐτὸν καὶ ἐμπτύσουσιν αὐτῷ καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.

Καὶ προσπορεύονται αὐτῷ Ἰάκωβος καὶ Ἰωάννης υἱοὶ Ζεβεδαίου λέγοντες· διδάσκαλε, θέλομεν ἵνα ὃ ἐὰν αἰτήσωμεν ποιήσῃς ἡμῖν. ὁ δὲ εἶπεν αὐτοῖς· τί θέλετε ποιῆσαί με ὑμῖν ; οἱ δὲ εἶπον αὐτῷ· δὸς ἡμῖν ἵνα εἷς ἐκ δεξιῶν σου καὶ εἷς ἐξ εὐωνύμων σου καθίσωμεν ἐν τῇ δόξῃ σου. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· οὐκ οἴδατε τί αἰτεῖσθε· δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι ; οἱ δὲ εἶπον αὐτῷ· δυνάμεθα. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· τὸ μὲν ποτήριον ὃ ἐγὼ πίνω πίεσθε, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθήσεσθε· τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται. καὶ ἀκούσαντες οἱ δέκα ἤρξαντο ἀγανακτεῖν περὶ Ἰακώβου καὶ Ἰωάννου. ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς λέγει αὐτοῖς· οἴδατε ὅτι οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν καὶ οἱ μεγάλοι αὐτῶν κατεξουσιάζουσιν αὐτῶν· οὐχ οὕτω δὲ ἔσται ἐν ὑμῖν, ἀλλ' ὃς ἐὰν θέλῃ γενέσθαι μέγας ἐν ὑμῖν, ἔσται ὑμῶν διάκονος, καὶ ὃς ἐὰν θέλῃ ὑμῶν γενέσθαι πρῶτος, ἔσται πάντων δοῦλος· καὶ γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΕΡΜΗΝΕΥΤΙΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ

Τὰ μέλλοντα αὐτῷ = ὅ,τι πρόκειται νὰ πάθῃ. **ἀναβαίνομεν·** τὰ Ἱεροσόλυμα εὑρίσκονται εἰς τὸ ὀροπέδιον τῆς Ἰουδαίας. **καὶ κατακρινοῦσιν....** = θὰ τὸν καταδικάσουν εἰς θάνατον. **ἔθνη**= οἱ εἰδωλολάτραι. Ἐννοεῖ τοὺς Ρωμαίους στρατιώτας πού θὰ τὸν ἐμπαίξουν, θὰ τὸν βασανίσουν καὶ θὰ τὸν σταυρώσουν. **προσπορεύονται**=πηγαίνουν ὀλίγον ἐμπρός. **ἐν τῇ δόξῃ σου**= ὅταν ἔλθῃς δοξασμένος κατὰ τὴν Δευτέραν Παρουσίαν. **οὐκ οἴδατε** = δὲν γνωρίζετε. **τὸ ποτήριον... καί... βάπτισμα**=ἐννοεῖ τὰ παθήματα τοῦ Σταυρικοῦ Του θανάτου. **πίεσθε** = θὰ πίετε, δηλ. δύνασθε νὰ ὑποφέρετε βάσανα, θλίψεις, θάνατον· **οὐκ ἔστιν ἐμὸν δοῦναι** = δὲν εἶναι ἰδικόν μου διὰ νὰ σᾶς τὸ δώσω. **ἀλλ' οἷς ἡτοίμασται** = ἀλλὰ δι' ἐκείνους, διὰ τοὺς ὁποίους ἡτοιμάσθη. Εἰς αὐτούς, οἱ ὁποῖοι διὰ τῶν ἔργων των ἀπεδείχθησαν πραγματικοὶ Χριστιανοί, ἄξιοι «υἱοὶ τοῦ Θεοῦ καὶ κληρονόμοι τῆς βασιλείας Του ». Κατ' ἄλλους ἑρμηνευτάς, ὁ Κύριος μὲ τὴν ἀπάντησίν Του εἰς τοὺς μαθητάς Του, πού τοῦ ἐζήτουν νὰ καθίσουν ὁ ἕνας ἀπ' αὐτοὺς εἰς τὰ δεξιὰ τῆς δόξης Του καὶ ὁ ἄλλος εἰς τὰ ἀριστερά Του, ἐννοοῦσε τοὺς δύο λῃστάς, ἐν τῷ μέσῳ τῶν ὁποίων ἐσταυρώθη. Διότι εἶχε προφητευθῆ ὑπὸ τῶν Προφητῶν ὅτι ὁ Ἰησοῦς θὰ θεωρηθῇ ὑπὸ τῶν Ἑβραίων ὡς κακοῦργος καὶ θὰ σταυρωθῇ ὑπ' αὐτῶν ἐν μέσῳ δύο λῃστῶν. Συνεπῶς εἶχεν ἑτοιμασθῆ ἡ θέσις αὐτὴ διὰ τοὺς δύο λῃστάς. Δόξα δὲ τοῦ Χριστοῦ, ὡς Υἱοῦ τοῦ ἀνθρώπου, εἶναι ὁ Σταυρός. **ἤρξαντο ἀγανακτεῖν περὶ Ἰακώβου καὶ Ἰωάννου**=ἤρχισαν νὰ ἀγανακτοῦν διὰ τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην. **οἴδατε**=γνωρίζετε. **οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν**=οἱ θεωρούμενοι ἄρχοντες, οἱ κυβερνῆται τῶν ἐθνῶν. **κατεξουσιάζουσιν**=κατατυραννοῦν· **οἱ μεγάλοι αὐτῶν**=οἱ πρώχοντες, οἱ ἄρχοντες. **οὐχ οὕτω ἔσται**=δὲν θὰ εἶναι σὲ σᾶς ἔτσι, σεῖς δὲν θὰ κάμνετε τὸ ἴδιον. **διάκονος**= ὑπηρέτης. **διακονῆσαι** = νὰ ὑπηρετήσῃ. **δοῦναι** = νὰ δώσῃ. **τὴν ψυχὴν** = τὴν ζωήν· **λύτρον** = ἀντάλλαγμα, διὰ νὰ ἐλευθερωθοῦν πολλοὶ ἀπὸ τὴν ἁμαρτίαν.

ΣΥΝΤΟΜΟΣ ΑΝΑΠΤΥΞΙΣ ΤΟΥ ΠΕΡΙΕΧΟΜΕΝΟΥ

Ὁ Κύριος παρέλαβε τοὺς δώδεκα μαθητάς Του καὶ ἀνέβαινεν εἰς Ἱεροσόλυμα, διηγούμενος εἰς αὐτοὺς τὰ ὅσα θὰ ὑπέφερεν ὡς ἄνθρωπος χάριν τῆς σωτηρίας τοῦ κόσμου. Τότε τοὺς ἐφανέρωσε τὰ μέλλοντα νὰ συμβῶσιν εἰς αὐτόν: ὅτι θὰ τὸν συλλάβουν οἱ Ἰουδαῖοι, θὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸν ἐμπαίξουν, θὰ τὸν μαστιγώσουν, θὰ τὸν σταυρώσουν καὶ Αὐτὸς τὴν τρίτην ἡμέραν θὰ ἀναστηθῇ. Τότε μετὰ τὴν ἐξιστόρησιν τῶν ὅσων ἐπρόκειτο νὰ ὑποφέρῃ ὁ Κύριος ὡς υἱὸς τοῦ ἀνθρώπου χάριν τοῦ κόσμου, δύο ἀπὸ τοὺς μαθητάς Του, οἱ υἱοὶ τοῦ Ζεβεδαίου, ὁ Ἰάκωβος καὶ ὁ Ἰωάννης, ἦλθον ἐμπρὸς εἰς τὸν Ἰησοῦν καὶ ἐζήτησαν ἀπὸ Αὐτόν, ὅταν ἔλθῃ εἰς τὴν δόξαν Του, νὰ καθίσῃ ὁ ἕνας ἐξ αὐτῶν εἰς τὰ δεξιά Του καὶ ὁ ἕτερος εἰς τὰ ἀριστερά Του.

Ὁ Ἰησοῦς τότε τοὺς εἶπε: «Δὲν γνωρίζετε τὶ ζητεῖτε. Δύνασθε σεῖς νὰ ὑποφέρετε τὰ βάσανα τοῦ ἐξευτελισμοῦ καὶ τοὺς τρομακτικοὺς πόνους τοῦ Σταυροῦ;» Αὐτοὶ μὴ ἐννοοῦντες τὴν σημασίαν τῶν λόγων τοῦ Κυρίου ἀπήντησαν: «Δυνάμεθα».

Τότε ὁ Ἰησοῦς τοὺς εἶπεν, ὅτι τοὺς ἀναμένει ἡ δίωξις τοῦ κόσμου καὶ ὁ μαρτυρικὸς θάνατος διὰ τὸν λόγον ὅτι εἶναι Ἀπόστολοί Του, πλὴν ὅμως παρ' ὅλα ταῦτα τὸ νὰ καθίσουν εἰς τὰ δεξιὰ καὶ ἀριστερὰ τῆς Δόξης Του, τοῦτο εἶχε προφητευθῆ δι' ἄλλους. Εἶχεν ἑτοιμασθῆ ὑπὸ τοῦ Θεοῦ διὰ τοὺς δύο λῃστὰς ἐν μέσῳ τῶν ὁποίων ἐσταυρώθη ὁ Σωτὴρ Ἰησοῦς χάριν τῆς σωτηρίας τοῦ κόσμου. Τοῦτο τὸ παρεξήγησαν οἱ λοιποὶ Ἀπόστολοι καὶ δυσηρεστήθησαν ἀπέναντι τῶν δύο υἱῶν τοῦ Ζεβεδαίου, διότι αὐτοὶ ἐζήτησαν διὰ τὸν ἑαυτόν τους τιμητικὴν θέσιν κατὰ τὴν Δευτέραν Παρουσίαν τοῦ Κυρίου. Τοῦτο τὸ εἶδεν ὁ Ἰησοῦς, ὅστις τοὺς εἶπε:

«Οἱ ἄρχοντες τῶν λαῶν καὶ οἱ Κυβερνῆται τῶν ἐθνῶν κατατυραννοῦν τοὺς ἀνθρώπους καὶ ὀνομάζονται ἀπ' αὐτοὺς κύριοι καὶ εὐεργέται. Ἀλλ' εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, τὴν ὁποίαν ἐγὼ ἦλθον νὰ ἱδρύσω ἐπὶ τῆς γῆς, δὲν συμβαίνει τὸ ἴδιον. Ἀλλ' ἀπεναντίας ἐκεῖνος, ὅστις θὰ θελήσῃ νὰ γίνῃ πρῶτος μεταξὺ τῶν ἄλλων, πρέπει νὰ ὑπηρετήσῃ ὅλους τοὺς ἄλλους μὲ ταπεινοφροσύνην καὶ πίστιν εἰς τὸν Θεόν. Διότι ὁ υἱὸς τοῦ ἀνθρώπου δὲν ἦλθεν εἰς τὸν κόσμον αὐτὸν νὰ ὑπηρετηθῇ ἀπὸ τὸν κόσμον, ἀλλὰ νὰ ὑπηρετήσῃ τὸν κόσμον καὶ νὰ ἀποθάνῃ διὰ τὴν σωτηρίαν αὐτοῦ».

Ἡ ταπεινοφροσύνη εἶναι τὸ δεῖγμα τῶν πραγματικῶν Χριστιανῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΥΡΙΑΚΗ ΤΩΝ ΒΑΪΩΝ (Ἰωάνν. ιβ', 1—18)

ΤΟ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

Πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἦλθεν ὁ Ἰησοῦς εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος ὁ τεθνηκώς, ὃν ἤγειρεν ἐκ νεκρῶν. ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ, καὶ ἡ Μάρθα διηκόνει· ὁ δὲ Λάζαρος εἷς ἦν τῶν ἀνακειμένων σὺν αὐτῷ. ἡ οὖν Μαρία, λαβοῦσα λίτραν μύρου νάρδου πιστικῆς πολυτίμου, ἤλειψε τοὺς πόδας τοῦ Ἰησοῦ καὶ ἐξέμαξε ταῖς θριξὶν αὐτῆς τοὺς πόδας αὐτοῦ· ἡ δὲ οἰκία ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου. λέγει οὖν εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἰούδας Σίμωνος Ἰσκαριώτης, ὁ μέλλων αὐτὸν παραδιδόναι· διατί τοῦτο τὸ μύρον οὐκ ἐπράθη τριακοσίων δηναρίων καὶ ἐδόθη πτωχοῖς ; εἶπε δὲ τοῦτο οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελεν αὐτῷ, ἀλλ' ὅτι κλέπτης ἦν, καὶ τὸ γλωσσόκομον εἶχε καὶ τὰ βαλλόμενα ἐβάσταζεν. εἶπεν οὖν ὁ Ἰησοῦς· ἄφες αὐτήν, εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό. τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. Ἔγνω οὖν ὄχλος πολὺς ἐκ τῶν Ἰουδαίων ὅτι ἐκεῖ ἐστι, καὶ ἦλθον οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ' ἵνα καὶ τὸν Λάζαρον ἴδωσιν ὃν ἤγειρεν ἐκ νεκρῶν. ἐβουλεύσαντο δὲ οἱ ἀρχιερεῖς ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσιν, ὅτι πολλοὶ δι' αὐτὸν ὑπῆγον τῶν Ἰουδαίων καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν.

Τῇ ἐπαύριον ὄχλος πολὺς ὁ ἐλθὼν εἰς τὴν ἑορτήν, ἀκούσαντες ὅτι ἔρχεται Ἰησοῦς εἰς Ἱεροσόλυμα, ἔλαβον τὰ βαΐα τῶν φοινίκων καὶ ἐξῆλθον εἰς ὑπάντησιν αὐτῷ, καὶ ἔκραζον· ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὁ βασιλεὺς τοῦ Ἰσραήλ. εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον ἐκάθισεν ἐπ' αὐτό, καθώς ἐστι γεγραμμένον· μὴ φοβοῦ, θύγατερ Σιών· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται καθήμενος ἐπὶ πῶλον ὄνου. Ταῦτα δὲ οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ τὸ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πρῶτον, ἀλλ' ὅτε ἐδοξάσθη ὁ Ἰησοῦς, τότε ἐμνήσθησαν ὅτι ταῦτα ἦν ἐπ' αὐτῷ γεγραμμένα, καὶ ταῦτα ἐποίησαν αὐτῷ. Ἐμαρτύρει οὖν ὁ ὄχλος ὁ ὢν μετ' αὐτοῦ ὅτε τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος ὅτι ἤκουσαν τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον.

ΕΡΜΗΝΕΥΤΙΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ

Τὸ Πάσχα· ἦτο ἡ μεγαλυτέρα ἑορτὴ τῶν Ἑβραίων, εἰς ἀνάμνησιν τῆς σωτηρίας των ἀπὸ τοὺς Αἰγυπτίους. **Βηθανία** = πόλις κοντὰ εἰς τὰ Ἱεροσόλυμα. **ὁ τεθνηκὼς** = ὁ πεθαμένος. **ὃν ἤγειρεν ἐκ νεκρῶν** = τὸν ὁποῖον ἀνέστησεν ἀπὸ τοὺς νεκρούς. **διηκόνει** = ὑπηρέτει. **εἷς τῶν ἀνακειμένων**=ἕνας ἀπὸ τοὺς προσκεκλημένους. **λίτρα** = μέτρον τῶν ὑγρῶν. **νάρδος** = φυτὸν ἀρωματικόν, ἀπὸ τὸ ὁποῖον κατασκευάζεται μεγάλης ἀξίας μυρωδιά. **ἐπληρώθη**=ἐγέμισε. **ἐξέμαξε ταῖς θριξὶν**= = ἐσπόγγισε μὲ τὰς τρίχας τῆς κεφαλῆς της. **Ἰσκαριώτης** = ὁ καταγόμενος ἐκ τῆς πόλεως Καριώθ, ὁ ὁποῖος ἐπρόδωσε τὸν Κύριον, μαθητής του. Τοῦτο γίνεται πρὸς διάκρισιν τοῦ ἄλλου μαθητοῦ, ὅστις καὶ αὐτὸς λέγεται Ἰούδας. **οὐκ ἐπράθη** = δὲν ἐπωλήθη. **γλωσσόκομον** = τὸ ταμεῖον. **τὰ βαλλόμενα**=τὰ ριπτόμενα χρήματα τοῦ κοινοῦ ταμείου τῶν Ἀποστόλων διὰ τὰς ἀνάγκας των· **ὡσαννὰ** (λέξις ἑβραϊκή) = σῶσέ μας· **εὐλογημένος**= ἂς εἶσαι εὐλογημένος σύ, ποὺ ἔρχεσαι ἐξ ὀνόματος τοῦ Κυρίου· **ἐβουλεύσαντο**=ἐσκέφθησαν. **ὅτι... δι' αὐτὸν**=διότι ἐξ αἰτίας αὐτοῦ. **τὰ βαΐα**=τοὺς κλάδους τῶν φοινίκων. **ὅτε ἐδοξάσθη**· μετὰ τὴν ἀνάστασιν (τοῦ Ἰησοῦ). **τὸ σημεῖον** = τὸ θαῦμα.

Σημ. Τὸ Πάσχα τῶν Ἑβραίων ἦτο συμβολισμὸς τοῦ Σταυρικοῦ θανάτου τοῦ Χριστοῦ.

ΣΥΝΤΟΜΟΣ ΑΝΑΠΤΥΞΙΣ ΤΟΥ ΠΕΡΙΕΧΟΜΕΝΟΥ

Ὁ Ἰησοῦς ἦλθεν εἰς τὴν Βηθανίαν ἓξ ἡμέρας πρὸ τοῦ Πάσχα καὶ ἀνέστησεν ἐκ τοῦ τάφου τὸν πρὸ τεσσάρων ἡμερῶν ἀποθανόντα Λάζαρον. Ἐκεῖ χάριν αὐτοῦ ἔκαμαν δεῖπνον, εἰς τὸν ὁποῖον ἐκάθισε καὶ ὁ ἐκ τῶν νεκρῶν ἀναστὰς Λάζαρος. Ἡ ἀδελφή τοῦ Λαζάρου Μάρθα ὑπηρέτει τοὺς καθημένους εἰς τὸ δεῖπνον, ἡ δὲ ἄλλη ἀδελφή του Μαρία ἠγόρασε πολύτιμον μύρον καὶ ἤλειψε μὲ αὐτὸ τοὺς πόδας

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῦ Ἰησοῦ, τοὺς ὁποίους ἐσπόγγισε μὲ τὰς τρίχας τῆς κεφαλῆς της. Ἡ οἰκία τότε « ἐγέμισε ἀπὸ τὴν μυρωδιὰ τοῦ μύρου », ὁ δὲ Ἰούδας ὁ προδότης εὗρε τὴν εὐκαιρίαν νὰ δείξῃ τὴν φιλαργυρίαν του μὲ τὸ ὑποκριτικὸν ἐνδιαφέρον του διὰ τοὺς πτωχούς. Ὁ Κύριος ὅμως τὸν ἀπεστόμωσε. Διότι ἐπήνεσε τὴν ὡραίαν πρᾶξιν τῆς εὐγνωμοσύνης τῆς Μαρίας καὶ ἐξ αἰτίας αὐτῆς τῆς ἀφορμῆς προεῖπε τὸν θάνατόν Του καὶ τὸν ἐνταφιασμόν Του.

Τὴν ἑπομένην τῆς ἡμέρας ἐκείνης εἰσῆλθεν ὁ Ἰησοῦς εἰς τὴν Ἁγίαν Πόλιν, τὴν Ἱερουσαλήμ, καθήμενος ἐπὶ πώλου ὄνου. Ὁ Λαὸς τότε τὸν ὑπεδέχθη θριαμβευτικῶς, διότι ἀνέστησε τὸν Λάζαρον ἐκ τῶν νεκρῶν. Δι' αὐτὸ ἐκράτει τότε εἰς τὰς χεῖράς του τὰ βαΐα τῶν φοινίκων καὶ ἐφώναζε : « ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου ὁ βασιλεὺς τοῦ Ἰσραήλ», δηλαδὴ τοῦ λαοῦ τοῦ Θεοῦ.

Ἄλλοι πάλι ἔστρωναν εἰς τὸν δρόμον τὰ ἐνδύματά των εἰς ἔνδειξιν σεβασμοῦ καὶ ἀγάπης, διὰ νὰ περάσῃ ὁ Χριστός. Ἄλλοι ἐβεβαίωναν μὲ φωνὴν δυνατὴν περὶ τοῦ Ἰησοῦ, ὅτι Αὐτὸς εἶναι ποὺ ἐφώναξεν ἐκ τοῦ μνημείου τὸν Λάζαρον καὶ τὸν ἀνέστησεν ἐκ νεκρῶν. Τοῦτο τὸ θαῦμα τῆς ἀναστάσεως τοῦ Λαζάρου τοὺς εἶχε ξεσηκώσει ὑπὲρ τοῦ Χριστοῦ. Ἀπὸ τὴν ἀνάστασιν τοῦ Λαζάρου πολλοὶ ἐπίστευσαν εἰς τὸν Χριστόν, ὁ δὲ λαὸς μὲ μεγάλον ἐνθουσιασμὸν καὶ μὲ ζητωκραυγὰς Τὸν ὑπεδέχθη εἰς τὰ Ἱεροσόλυμα.

ΚΥΡΙΑΚΗ Α' ΤΟΥ ΠΑΣΧΑ (Ἰωάνν. α', 1—17)

ΤΟ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐν ἀρχῇ ἦν ὁ Λόγος καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν, πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν ὃ γέγονεν. ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν.

Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης· οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ. οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. εἰς τὰ ἴδια ἦλθε, καὶ ο ἴδιοι αὐτὸν οὐ παρέλαβον. ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. Καὶ ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός, πλήρης χάριτος καὶ ἀληθείας· Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ καὶ κέκραγε λέγων· οὗτος ἦν ὃν εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος· ὅτι ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.

ΕΡΜΗΝΕΥΤΙΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ

